eul_wid: umi-al

*Ἀνώνυμοι Ἰατρικοί* · Medical Writers Anonymous

# Adornment of the Months

*Κόσμος Μηνῶν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

1 ΑΝΩΝΥΜΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΣΤΙΧΟΙ.

2 ΣΕΠΤ.

3 Γῆν ἀροσίμην σπεῦδε τέμνειν, ἀγρότα· Βρωτῶν ποτῶν τε γλυκέων πᾶς ἀντέχου· Χολὴ μέλαινα κυριεύει γὰρ πλέον.

4 ΟΚΤ.

5 Σπείρειν ἀνάγκη, γλυκέων τ’ ἀποτρέχειν· Οἴνῳ παλαιῷ χρώμενος ἐν τοῖς ποτοῖς. Δριμεῖα καὶ γὰρ ἡ χολὴ πλεῖον φέρει.

6 ΝΟΕΜΒ.

7 Συχνῶν λοετρῶν ἀπέχου καὶ δριμέων. Ἔσθιε θερμὰ καὶ γλυκαίνοντα πλέον. Φλέγμα ψυχρὸν γὰρ κυριεύει τῷ τότε.

8 ΔΕΚ.

9 Παύθητι νῦν γε τοῦ σπείρειν, πᾶς ἀγρότης.

10 Ψυχρῶν δὲ πάντων ἀπέχεσθ’ ἐδεσμάτων. Καιρὸς γὰρ οὗτος τὸ πλέον φλέγμα φέρει.

11 ΙΑΝ.

12 Νῦν ἀπογεύου νῆστις ἀκράτου τρίτον. Τὸ φλέγμα πλέον κυριεύει γὰρ πάλιν.

13 ΦΕΒΡ.

14 Θερμοῖς σιτίοις καὶ ποτοῖς ἀνθοσμίου Κέχρησο· καὶ γὰρ φλέγμα ψυχρὸν πλημμύρει.

15 ΜΑΡΤ.

16 Πρὸς ἐκστρατείαν γυμνάσιά τε τρέπου.

17 Βρωτῶν ποτῶν τε γλυκερῶν πᾶς ἀντέχου. Αἷμα προσαῦξον εὐκραὲς γάρ σοι τότε.

18 ΑΠΡ.

19 Θερμῶν ἁπάντων δριμέων τ’ ἀφεκτέον. Εὔχυμα δ’ ἔσθειν καὶ πίνειν ἀνθοσμίου.

20 Αἵματος ἡ κίνησίς ἐστι γὰρ τότε.

21 ΜΑΙΟΣ.

22

Τῶν ταριχευτῶν ἀπέχου καὶ δριμέων. Τοῖς εὐόσμοις ἥδου τε καὶ γλυκυτέροις. Μέλαν γὰρ αἷμα κυριεύει καὶ πάλιν.

23 ΙΟΥΝ.

24 Νῦν ὕδατος πρωΐθεν ἐκρόφα τρίτον. Θερμὸν γὰρ αἷμα κυριεύει καὶ πάλιν.

25 ΙΟΥΛ.

26 Μόχθους παραιτοῦ καὶ κέχρησο τοῖς ὕπνοις.

27 Ξανθὴ χολὴ γὰρ κυριεύει τὸ πλέον.

28 ΑΥΓ.

29 Τὴν τῶν ψυχρῶν δίαιταν ἀσπάζου πλέον. Μόνην ἐδωδὴν φεῦγε τὴν τῶν λαχάνων.

30 Χλωρὰ χολὴ γὰρ καὶ πάλιν κατισχύει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org